## V

ὤλεο δὴ πατέρων περὶ ληίδα καὶ σύ, Μαχάτα,
δριμὺν ἐπ᾽ Αἰτωλοῖς ἀντιφέρων πόλεμον
πρωθήβας· χαλεπὸν γὰρ Ἀχαιικὸν ἄνδρα νοῆσαι
ἄλκιμον, εἰς πολιὰν ὅστις ἔμεινε τρίχα.

## VI

ἔστης ἐν προμάχοις, Χαιρωνίδη, ὧδ᾽ ἀγορεύσας,
"ἢ μόρον ἢ νίκαν, Ζεῦ, πολέμοιο δίδου",
ἡνίκα τοι περὶ Τάφρον Ἀχαιίδα τῇ τότε νυκτί
δυσμενέες θρασέος δῆριν ἔθεντο πόνου.
ναὶ μὴν ἀμφ᾽ ἀρετῇ σε διακριδὸν Ἆλις ἀείδει
θερμὸν ἀνὰ ξείνην αἷμα χέαντα κόνιν.

## VII

πρός σε Διὸς ξενίου γουνούμεθα, πατρὶ Χαρίνῳ
ἄγγειλον Θήβην, ὦνερ, ἐπ᾽ Αἰολίδα
Μῆνιν καὶ Πολύνικον ὀλωλότε· καὶ τόδε φαίης,
ὡς οὐ τὸν δόλιον κλαίομεν ἄμμι μόρον
καίπερ ὑπὸ Θρῃκῶν φθίμενοι χερός, ἀλλὰ τὸ κείνου
γῆρας ἐν ἀργαλέῃ κείμενον ὀρφανίῃ.

## VIII

τὴν ἱλαρὰν φωνὴν καὶ τίμιον, ὦ παριόντες,
τῷ χρηστῷ "χαίρειν" εἴπατε Πραξιτέλει·